# TEZAUR LITURGIC

## 12 IUNIE

## GHEORGHIOS MILITSIS

# PARACLISUL SF.CUVIOS ONUFRIE CEL MARE

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 ΙΟΥΝΙΟΥ
# ΟΝΟΥΦΡΙΟΥ ΟΣΙΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

## Ποίημα Γεωργίου Μηλίτση

*Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὅ τὸ Θεὸς Κύριος καὶ τὰ ἑξῆς: Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῷ Ὀνουφρίῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Ὅσιε βοήθησον σοὺς ἀχρείους ἱκέτας, σπεῦσον ἀπολλύμεθα ἐκ βελῶν τοῦ Βελίαρ, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς, σὲ γὰρ προστάτην Ὀρθόδοξοι ἔχομεν.

*Δόξα. Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Περσίας τὸν γόνον, Θηβαΐδος τὸ καύχημα, καὶ τῶν Ὀρθοδόξων ἁπάντων, ὁδηγὸν καὶ ὑπόδειγμα. Ὀνούφριον τιμήσωμεν πιστοί, τὸν μέγαν τοῦ Σωτῆρος ἀθλητήν, τὸν παρέχοντα ἰάσεις παντοδαπᾶς, τοῖς ἐν πίστει προστρέχουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομεν…

*Ὁ Ν΄ ψαλμός.*

*Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.*

Ὀνούφριε σπεύδω ἱκετικῶς, πρὸς σὲ ὁ ἀχρεῖος, καὶ αἰτοῦμαι σὴν ἀρωγήν, ἥν τάχος παράσχου σῷ ἱκέτῃ, καὶ ἐκ χειρῶν τῶν δαιμόνων σὺ ῥῦσαί με.

Ὀργίλος κατέστη ὁ μισερός, διὸ καὶ στενάζω, καὶ ὀδύρομαι θαυμαστέ, καὶ εἰς σὲ προσέρχομαι δακρύων, σοῦ ἐκζητῶν τὴν βοήθειαν Ὅσιε.

Νεότητα σκέπε θαυματουργέ, καὶ φύλαττε ταύτην ἐκ παγίδων τοῦ μισεροῦ, τοῖς δὲ σοὶ προσφεύγουσι παράσχου, χαλινὸν γλώττης Ὀνούφριε ἔνδοξε.

*Θεοτοκίον.*

Παρθένε προσπίπτω δεητικῶς, καὶ χεῖρας μου αἴρω, ἐξαιτούμενος ἀρωγήν, ἥν τάχος παράσχου σῷ ἱκέτῃ, ἵνα ῥυσθῶ τοῦ πυρὸς Θεοδόξαστε.

*Ὠδὴ γ΄. Οὐρανίας ἀψίδος.*

Ὀρφανῶν ἀνεδείχθης, καταφυγὴ Ὅσιε, καὶ τῶν ἀσθενούντων προστάτης ὁ ἀπαράμιλλος, διὸ προσέρχονταί σοι, τῶν Ὀρθοδόξων χορείαι, καὶ αἰτοῦσιν πάντιμε, τὴν μεσιτείαν σου.

Λυτρωτὴν τῶν ἀνθρώπων, καὶ Πλαστουργὸν ἔνδοξε, σὲ καθικετεύω ὁ τάλας, σὺ ἐξευμένισον, ἵνα ῥυσθῶ τοῦ πυρός, τοῦ αἰωνίου παμμάκαρ, καὶ ἰδεῖν τὸν Κύριον, κἀμὲ ἀξίωσον.

Τὴν εἰρήνην παράσχου, ἡμῖν ἀξιάγαστε, καὶ τὰς τῶν ἐχθρῶν ἐπιθέσεις ἀποσκοράκισον, ἵνα διάγωμεν νῦν, ἐν ἡσυχίᾳ καὶ πίστει, καὶ Χριστὸν δοξάζοντες, θεῖε Ὀνούφριε.

*Θεοτοκίον.*

Ὀρθοδόξων ἐδείχθης, καταφυγὴ Δέσποινα, καὶ τῶν μοναζόντων τὸ κλέος, Θεομακάριστε, τῶν ἀσθενούντων ἀεί, σὺ ἰατρὸς καὶ προστάτης, καὶ χηρῶν ὑπέρμαχος, ἀκατανίκητος.

Διάσωσον, ἀπὸ κινδύνων Ὀνούφριε σοὺς ἱκέτας, ὅτι πάντες σεμνοπρεπῶς, εἰς σὲ καταφεύγομεν, τὸν φύλακα πάντων τῶν Ὀρθοδόξων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Σὺ πρέσβυς θερμός, καὶ τεῖχος ἀκατάβλητον, ἐλέους πηγή, καὶ πάντων καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Ὀνούφριε Ὅσιε, πρόφθασον, καὶ ἐκ τῶν νόσων φύλαξον ἡμᾶς, ὁ μόνος ἰατρὸς ὁ ἀλάνθαστος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑγείαν παράσχου μοι, Ὅσιε Ὀνούφριε ἱκετεύω σε, καὶ τὰ τέκνα μου προστάτευσον, ἐκ παντοίων νόσων ἀξιάγαστε.

Σὺ τὴν γλῶσσάν μου φύλαξον, ἐκ τῆς κατακρίσεως τρισμακάριστε, καὶ τὸ στόμα μου διάνοιξον, τοῦ δοξάζειν, Κτίστην τὸν τοῦ σύμπαντος.

Ἐκ τροχαίου σὺ ῥῦσαί με, ἀθλητὰ Ονούφριε θεοδόξαστε, καὶ μετάνοιαν παράσχου μοι, ἵνα φύγω μάκαρ τῆς κολάσεως.

*Θεοτοκίον.*

Παναγία Πανάχραντε, ἀνεπαίσχυντα τέλη Σὺ παράσχου μοι, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεοδόξαστε.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Δέχου προσευχάς, καὶ δεήσεις ἀξιάγαστε, καὶ τὴν καρδίαν μου πλήρωσον χαρᾶς, τῶν Ὀρθοδόξων καταφύγιον Ὀνούφριε.

Ἄναρχον Θεόν, ἐξευμένισον Ὀνούφριε, καὶ τὴν καρδίαν μου πλήρωσον χαρᾶς, ἵνα δοξάζω σε Ὁσίων ἀκροθίνιον.

Δώρησαι ἡμῖν, τὴν ὑγείαν δεομένοις σου, καὶ τῆς ψυχῆς ὡς καὶ τοῦ σώματος ἀεί, θεοδόξαστε Ὀνούφριε, πάντων σέμνωμα.

*Θεοτοκίον.*

Ἴασαι Ἁγνή, τῆς καρδίας μου τὰ τραύματα, καὶ τοῦ νοός μου Κόρη τὴν ἔπαρσιν, καὶ ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἀγνώμων, φθονερὸς καὶ ἄνανδρος, ἀνεδείχθην ὁ ἱκέτης σου Πάτερ, σπεῦσον καὶ ῥῦσαι Ὀνούφριε τάχος, καὶ εἰς τὴν μάνδραν Χριστοῦ καθοδήγησον, σοῦ δέομαι γονυκλινῶς, Ὀρθοδόξων φρουρὲ ἀκατάβλητε.

Τροχαίου, ἀσθενειῶν καὶ θλίψεων, τὸν ἱκέτην σου ἀπάλλαξον τάχος, καὶ πειρασμῶν καὶ παγίδων

ποικίλων, ἅς ὁ σατὰν ἐξυφαίνει διάλυσον, σοῦ δέεται θαυματουργέ, ὁ ἀνάξιος δοῦλος Ὀνούφριε.

Θεράπων, καὶ ἰατρὸς ἀνάργυρος, τοῦ καρκίνου θεοφόρε ἐδείχθης, καὶ λοιμωδῶν νοσημάτων παμμάκαρ, θεραπευτὴς ἀκατάβλητος γέγονας, διὸ ἀσθενοῦντες πιστοί, σοὶ προστρέχονται πίστη Ὀνούφριε.

*Θεοτοκίον.*

Θυμώδης, ἐριστικὸς καὶ ἄφιλος, ὁ ἀχρεῖός σου ἱκέτης κατέστην, σπεῦσον Παρθένε καὶ σῶσον οἰκέτην, ἵνα ῥυσθῶ αἰωνίου κολάσεως, σοῦ δέομαι Μήτερ Θεοῦ, ἐκ χειρῶν τοῦ ἀλάστορος σῶσόν με.

Διάσωσον, ἀπὸ κινδύνων Ὀνούφριε σοὺς ἱκέτας, ὅτι πάντες σεμνοπρεπῶς, εἰς σὲ καταφεύγομεν, τὸν φύλακα πάντων τῶν Ὀρθοδόξων.

Ἄχραντε…

*Κοντάκιον. Ἦχος β΄. Προστασία*

Σὺ προστάτης τῶν χριστιανῶν ἀκαταίσχυντος, καὶ μεσίτης πρὸς τὸν Ποιητὴν ἀκατάβλητον, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον θαυματουργέ, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν θερμῶς κραυγαζόντων σοι· ῥῦσαι ἡμᾶς ἐκ πλάνης, καὶ σπεῦσον τοῖς ἀσθενοῦσιν, τῶν Ὀρθοδόξων θαυμαστέ, σὺ εἶ φρουρὸς ὁ ἀνύστακτος.

Προκ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Τι ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

*Εὐαγγέλιον· ἐκ τοῦ κατὰ Λουκᾶν (στ΄ 17-23)*

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν Αὐτοῦ, καὶ πλῆθος πολὺς τοῦ λαοῦ ἀπὸ πάσης Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἱ ἦλθον ἀκοῦσαι Αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι Αὐτοῦ, ὅτι δύναμις παρ' Αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ Αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς Αὐτοῦ εἰς τοὺς μαθητὰς Αὐτοῦ, ἔλεγε: Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

*Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…* Ἦχος πλ. Β΄. Ὅλην ἀποθέμενοι.

Μὴ ἐγκαταλείψῃς με, σὺ τοῦ Χριστοῦ στρατιώτα, Ὀνούφριε Ὅσιε, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου, θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, ἀρχεκάκου τὰ τοξεύματα, σκέπην οὐ κέκτημαι, οὐδὲ καταφύγιον Ἅγιε, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου, κλέος τῶν Ἀγγέλων, καὶ δόξα Ὀρθοδόξων θαυμαστέ, μὴ μοῦ παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τρικυμίας τοῦ βίου, καταπράϋνον δέομαι ὁ ἀνάξιος, καὶ δίδως μοι εἰρήνη, χαράν τε καὶ γαλήνην, ἵνα πόθῳ κραυγάζω σοι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νικητὴς ἀνεδείχθης, τοῦ σατὰν θεοδόξαστε καὶ προπύργιον, ἡμῶν τῶν Ὀρθοδόξων, καὶ πάντων τῶν ἐν θλίψει, παραμύθιον ἔνδοξε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῶν ἀτέκνων συζύγων, καταφύγιον γέγονας θεοδόξαστε, καὶ τῶν σφοδρῶς ποθούντων, τὸν βίον τῶν Ἀγγέλων, ποδηγέτης ἀλάνθαστος· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Βασιλέως καθέδρα, καὶ πιστῶν καταφύγιον Μήτερ γέγονας, διὸ πιστῶν τὰ πλήθη, προσέρχονται ἀσμένως, καὶ θερμῶς πάντες ᾄδωσι· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Τῶν μοναζόντων, ὁδηγὸς σὺ προστάτης, ἀνεδείχθης Ὀνούφριε μάκαρ, διὸ σὲ ὑμνοῦμεν, ἀπαύστως χριστοδρόμε.

Τὴν νεολαίαν, τῆς ἐκκλησίας τὴν μάνδρα, σὺ ὁδήγησον τάχος τρισμάκαρ, καὶ αὐτῇ παράσχου, ἀκλόνητον τὴν πίστην.

Τοὺς κοιμηθέντας, ὧν αἱ ψυχαὶ εἰς τὰς χεῖρας, τοῦ Δεσπότου εἰσὶ μὴ παρίδῃς, ἵνα σὲ ὑμνοῦμεν, Ὀνούφριε τρισμάκαρ.

*Θεοτοκίον.*

Τὰς ἀσθενείς, Σὺ τῆς ψυχῆς ἰατρεύεις, καὶ τοῦ σώματος πάθη διώκεις, διὸ Σὲ δοξάζω, Παρθένε Θεοτόκε.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Πηγὴ χαρᾶς ἐδείχθης, Ὀνούφριε μάκαρ, καὶ τῶν ἐν θλίψεσι ὄντων παράκλησις, τῶν δὲ ποθούντων σωθῆναι, τὸ καταφύγιον.

Κρουνὸς πολλῶν θαυμάτων, μάκαρ ἀνεδείχθης, καὶ τῆς νεότητος φύλαξ καὶ πρόμαχος, τῶν δὲ ἐν γήρατι ὄντων, φρουρὸς ἀκοίμητος.

Ἀγγέλων πολιτείαν, ἐβίωσας Πάτερ, καὶ τῶν παθῶν καθαιρέτης σὺ γέγονας, διὸ Ὀνούφριε θεόφρων, δόξαν ἀπείληφας.

*Θεοτοκίον.*

Πανάχραντε Μαρία, σώματος τὰ ἄλγη, καὶ συνειδήσεως τύψεις διάλυσον, καὶ οὐρανῶν τὴν εἰρήνη, δίδου ἱκέτας Σου.

*Ἄξιόν ἐστι· καὶ τὰ Μεγαλυνάρια.*

Ἄξιόν ἐστι ὡς ἀληθῶς, μακαρίζειν σε Ὅσιε Πάτερ, τὸν ἀειμακάριστον καὶ θεοκόσμητον, τὸν προστάτην καὶ φρουρὸν ἡμῶν, τὸν δεδοξασμένον παρὰ Θεῷ, καὶ πεφιλημένον παρὰ πᾶσι χριστιανοῖς, τὸν ἀδιαλείπτως, Θεῷ παρεστηκότα, καὶ νέμοντα ἰάσεις, πᾶσι Ὀνούφριε.

Δόξα ἀναπέμπομεν τῷ Θεῷ, τὸν δόντα προστάτην, Ὀρθοδόξοις χριστιανοῖς, σὲ θαυματοβρύτα, τῶν μοναστῶν τὸ κλέος, καὶ ὁδοδείκτην πάντων, θεῖε Ὀνούφριε.

Δέχου παρακλήσεις σῶν ἱκετῶν, δέχου ἱκεσίας, καὶ προσάγαγε τῷ Θεῷ, Ὀνούφριε μάκαρ, Αἰγύπτου βλαστὸς θεῖος, καὶ τῆς Ὀρθοδοξίας, κλέος καὶ σέμνωμα.

Χαίροις μοναζόντων ἡ καλλονή, καὶ τῶν Ὀρθοδόξων ἀντιλήπτωρ καὶ βοηθός, χαίροις τῶν ποθοῦντων, ἰδεῖν Θεοῦ τὴν δόξαν, μεσίτης καὶ προστάτης, μάκαρ Ὀνούφριε.

Δόξα ἐκκλησίας καὶ χαρμονή, Πᾶτερ ἀνεδείχθης, καὶ προπύργιον μοναχῶν, καὶ τῆς νεολαίας, φρουρός τε καὶ προστάτης, Ὀνούφριε παμμάκαρ, Ἀγγέλων σύσκηνε.

Ὀρφανῶν προστάτης καὶ βοηθός, πεινόντων τροφέας, καὶ ἀνέργων καταφυγή, μάκαρ ἀνεδείχθης, διὸ σὲ θεοφόρε, δοξάζομεν ἀπαύστως, καὶ ὕμνους μέλπομεν.

Πᾶσαι τῶν Ἀγγέλων…

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἀπόλυσις, καὶ τὸ Τροπάριον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.*

Πάντων, σὺ προστάτης ἀγαθέ, καὶ τῶν σωτηρίαν ποθούντων, σὺ εἶ φρουρὸς ἀσφαλής, ἄλλον γὰρ οὐκ ἔχομεν, τῶν Ὀρθοδόξων πληθύς, πρεσβευτὴν ἀκατάβλητον, καὶ μέγαν μεσίτην, οἱ κατατρυχόμενοι ὑπὸ ποικίλων παθῶν, κλέος ἀνεδείχθης καὶ δόξα, διό σοι προσπίπτωμεν πόθῳ, πάντες οἱ Ὀρθόδοξοι Ὀνούφριε.

Δέσποινα πρόσδεξαι…

Τὴν πᾶσαν ἐλπίδα μου…

*Δι᾽ εὐχῶν.*

